αἴσωπος ἔφη, ὅταν ἔλθῃ ὁ συνθηκοφύλαξ ἅμα τῷ ἀντιδίκῳ σου λέγοντες τὴν θάλασσαν ὅπως ἐκπιεῖν, μὴ ἀρνοῦ, ἀλλὰ ἅπερ συνέθου ἐν οἴνῳ, ταῦτα καὶ νήφων λέγε, καὶ κέλευσον στρώματα παρὰ τὸν αἰγιαλὸν τεθῆναι, καὶ κραββάτους καὶ τράπεζαν, καὶ παῖδας πιγκέρνας παραστῆναι. ὅταν δὲ ἴδῃς, ὅτι πάντα πεπλήρωται, τοῦ ὄχλου ἐπὶ τὴν θέαν συνδραμόντος, ἀναπεσὼν κέλευσον πλησθῆναι σκύφους ἐκ τῆς θαλάσσης, καὶ λαβὼν ἕνα ἐν ταῖς χερσί σου, εἰπὲ δημοσίᾳ πρὸς τὸν συνθηκοφύλακα, πῶς ἄρα τε ἔθηκας τὰς συνθήκας, καὶ τότε ἐρεῖ σοι, ἵνα τὴν θάλασσαν ἐκπίῃς. ὁ δὲ ξάνθος τῷ αἰσώπῳ ἔφη, μὴ, τί πλέον ἐρεῖ τοῦτο. ὁ δέ, οὔ, φησίν, ἀλλὰ τοῦτο μαρτύρομαι, λέγε, ἐπειδὴ γὰρ παρ' αὐτῶν ἀντίφρασιν ἔχεις δέξασθαι, καὶ δημηγόρησον

http://digital.slub-dresden.de/ppn346259193/64